λετο, καὶ σεβαστοκράτορας, καὶ τὰ λοιπὰ τῶν ἀξιωμάτων οἷς ἐβούλετο τῶν ὑπ' αὐτὸν διένειμεν. Οὐκ εὐφυῶς δὲ ἔχων πρὸς τοὺς τῆς βασιλείας θεσμούς, Βουλγαρικώτερον ἢ βαρβαρικώτερον εἰπεῖν μᾶλλον ταῖς ὑποθέσεσι διετίθετο, ἀγνοῶν ὅσα τῆς βασιλείας ἀρχαῖα τυγχάνουσιν ἔθιμα. Οὗτος ἀντίφρων τῷ βασιλεῖ Ἰωάννῃ τῷ Δούκᾳ ἦν, καὶ ταῦτα αὐτὸν ἀξιοῦντι τῶν δευτερείων τῆς βασιλείας μετέχειν, καὶ τῆς χώρας ἣν ὑφ' ἑαυτὸν εἶχεν ἐγκρατῆ εἶναι, καὶ κατ' οὐδὲν ἄλλο ὑπείκειν αὐτῷ· ὁ δὲ ἀντέβαινε στερεώτερον.

Ἄρτι δὲ τῆς βασιλείας ἐπειλημμένος ὁ βασιλεὺς Ἰωάννης ὁ Δούκας, καὶ ἐν στενῷ οὖσαν εὑρὼν τὴν τῶν Ρωμαίων ἀρχήν, μὴ ἀνασχόμενος ἐν ὀλίγοις τὴν αὐτοῦ ἀρχὴν περιγράφεσθαι, δύο παραδραμόντων ἐνιαυτῶν μάχην ποιεῖται μετὰ τῶν Ἰταλῶν. Συνάγεται γοῦν Λατινικὸν στράτευμα ἀξιόμαχον, οὗ πρόμαχοι οἱ τοῦ βασιλέως τοῦ Λάσκαρι Θεοδώρου αὐτάδελφοι, οἱ σεβαστοκράτορες Ἀλέξιός τε καὶ Ἰσαάκιος· οὗτοι γὰρ μετὰ θάνατον τοῦ ἀδελφοῦ, τὴν θυγατέρα ἐκείνου Εὐδοκίαν λαβεῖν καὶ πρὸς τὴν Κωνσταντινούπολιν ἀπελθεῖν ἐβουλεύσαντο· μὴ δυνηθέντες δὲ καὶ τὴν ἀνεψιὰν λαβεῖν, αὐτοὶ μόνοι ἀπέδρασαν. Μάχης οὖν συγκροτηθείσης ἐν τοῖς μέρεσι τοῦ Ποιμανηνοῦ, ὅπου καὶ τοῦ ἀρχαγγέλου Μιχαὴλ ὁ ναός, νικᾷ κατὰ κράτος ὁ βασιλεύς, τῶν μὲν Ρωμαίων σχεδὸν τῶν πλείστων ἐξατονησάντων, αὐτοῦ δὲ τοῦ βασιλέως μετ' ὀλίγων πάνυ τὴν νίκην πᾶσαν ἐργασαμένου· δόρατος καὶ γὰρ ἥψατο, καὶ πολέμιον ἔβαλλε, καὶ ἀνδρεῖον τὸ φρόνημα παρεστήσατο, οὐδὲ πρό-
φ.118 τερον ἀγνοούμενον |. Ἡ τοιαύτη νίκη εἰς μεγάλην αὔξησιν τὰ Ρωμαίων κατέστησε, τοὺς δ' Ἰταλοὺς συνέστειλε καὶ κατέβαλλε· τοὺς μὲν γὰρ ζῶντας, τοὺς κρείττους τούτων συνέσχεν, ἀλλὰ καὶ τοὺς τοῦ Λάσκαρι αὐταδέλφους οὓς καὶ ἐκτυφλοῖ, ἐπ' αἰτίαις εὑρών, ἄλλοι δὲ φόνου ἔργον ἐγένοντο.

Καὶ οἱ μὴ τῷ πολέμῳ δὲ παραγεγονότες, τὴν δειλίαν ὡς